# Gebet zur Segnung der Fleischspeisen am Heiligen und Großen Oster-Sonntag

Gepriesen sei unser Gott allezeit, jetzt und immerdar und von Ewigkeit zu Ewigkeit. Amin.

Christus ist auferstanden von den Toten, durch den Tod hat Er den Tod zertreten und denen in den Gräbern das Leben geschenkt. (3x)

Lasset zum Herrn uns beten.

Schau herab, Herr Jesus Christus, unser Gott, auf die Fleischspeisen und heilige sie, wie Du den Widder geheiligt hast, den der getreue Abraham Dir dargebracht hat, und auch das Lamm das Abel Dir geopfert hat, ebenso wie das Mastkalb, das Du zu schlachten befohlen hast für Deinen irrenden Sohn, der wieder zu Dir heimgekehrt ist, damit wir wie dieser, der würdig war Deiner Gnade teilhaftig zu werden, auch Deiner Heiligungen und Segnungen als Speise für uns alle teilhaftig werden.

Denn Du bist die wahre Speise und der Spender alles Guten und Dir senden wir den Lobpreis empor, mit Deinem anfanglosen Vater samt Deinem allheiligen, gütigen und lebenschaffenden Geist, jetzt und immerdar und von Ewigkeit zu Ewigkeit. Amin.

# Gebet zur Segnung von Käse und Eiern

Lasset zum Herrn uns beten.

Herr, unser Gott, Urheber und Schöpfer aller Dinge, segne den Käse und mit ihm auch die Eier; uns aber, die wir diese Gaben verzehren, bewahre in Deiner Milde, damit wir nicht nur an diesen Deinen reichlich dargebrachten Gaben teilhaben, sondern teilhaftig werden Deiner unaussprechlichen Güte.

Denn Dein ist die Macht und Dein ist das Reich und die Kraft und die Herrlichkeit, des Vaters und des Sohnes und des Heiligen Geistes, jetzt und immerdar und von Ewigkeit zu Ewigkeit. Amin.

# Εὐχὴ εἰς τὸ εὐλογῆσαι ἐδέσματα κρεῶν τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα

Εὐλογητὸς ὁ Θεὸς πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος. (γ')

Τοῦ Κυρίου δεηθῶμεν.

Ἐπίσκεψαι, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, τὰ ἐδέσματα τῶν κρεῶν καὶ ἁγίασον αὐτά, ὡς ἡγίασας τὸν ἀμνόν, ὅν σοι προσήγαγεν ὁ πιστὸς Ἀβραάμ, καὶ τὸν ἀρνόν, ὅν περ Ἄβελ σοὶ προσήνεγκεν εἰς ὁλοκάρπωσιν· ὁμοίως καὶ τὸν μόσχον τὸν σιτευτόν, ὅν θῦσαι ἐκέλευσας τῷ υἱῷ σου τῷ πεπλανημένῳ, καὶ πάλιν ἐπανελθόντι πρὸς σέ· ἵνα, καθὼς αὐτὸς ἠξιώθη τῆς σῆς χάριτος ἀπολαῦσαι, οὕτω καὶ τῶν ἁγιασθέντων ὑπὸ σοῦ καὶ εὐλογηθέντων ἀπολαύσωμεν εἰς τροφὴν πάντων ἡμῶν.

Σὺ γὰρ εἶ ἡ ἀληθινὴ τροφὴ καὶ ὁ δοτὴρ τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# Εὐχὴ εἰς τὸ εὐλογῆσαι τυρὸν καὶ ᾠὰ

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κρίστης καὶ δημιουργὸς τῶν ἁπάντων, εὐλόγησον τὸ γάλα τὸ πεπηγός, σὺν αὐτῷ δὲ καὶ τὰ ᾠά· ἡμᾶς δὲ συντή-ρησον ἐν τῇ χρηστότητί σου, ὅπως οἱ μεταλαμφάνοντες αὐτῶν, τῶν σῶν ἀφθονοπαρόχων δωρεῶν ἐμπλησθῶμεν καὶ τῆς ἀνεκλαλήτου σου ἀγαθό-τητος.

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ῾Αγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.